# 25 MARTIE

# CANONUL

# BUNEIVESTIRI

# A PREASFINTEI

# NASCATOARE

# DE DUMNEZEU

# SI PURUREA

# FECIOAREI MARIA

# 02

# CANONIER-GR


THE ANNUNCIATION
TO THE VIRGIN
ARCH GABRIEL
ΜΡ
ΘΥ

# Κανών

*ᾨδὴ α΄. Ἦχος α΄. Ἔσωσε λαόν.*

**Β**άτον ἐν Σινᾶ, πυρπολουμένην πάλαι,
Μωσῆς ἑώρα, διατυποῦσαν Κόρη,
τὴν σὴν ὑπὲρ νοῦν, λοχείαν ἣν Γαβριήλ,
σῇ σκηνῇ ἐξ οὐρανοῦ προσκομίζει,
χαῖρε σοὶ βοῶν· ὑπὲρ νοῦν συλλήψει γάρ.

**Ῥ**άβδος Ἀαρών, βλαστησαμένη πρώην,
σαφῶς ἐδήλου, τὴν σύλληψίν σου Κόρη,
συνέλαβες γάρ, Ἀγγέλου θείᾳ φωνῇ,
Κόρη πάναγνε, Θεὸν σῇ ἐν νηδύϊ,
μείνασα ὡς πρίν, Παρθένος ἀμίαντος.

**Θ**ρόνον σὲ Θεοῦ, προβλεπτικῶς προφήτης,
ἁγνὴ ἑώρα, Λόγος ἐφ᾽ ὃν ἱδρύθη,
ἐλθὼν ἐπὶ γῆς, τοῦ σῶσαι γένος βροτῶν·
ὅθεν σύλληψιν τὴν σὴν τιμῶμεν πάντες,
μόνη γὰρ Θεόν, ἀσπόρως συνέλαβες.

**Κ**λίμαξ ἣν τὸ πρίν, ὁ Ἰακὼβ προεῖδε,
σὺ εἶ Παρθένε, Λόγος δι᾽ ἧς κατῆλθε,
καὶ σάρκα λαβών, ἀφράστως φύσιν βροτῶν,
φλην αὖθις τῷ πατρὶ ἔδειξε ταύτην,
σώζων τοὺς τὴν σήν, γεραίροντας σύλληψιν.

**Ν**έφος ὁμβρικόν, ὁ Γεδεὼν προεῖδε,
σὺ εἶ Παρθένε, ὅμβρον Χριστὸν ὁμβρίσαν,
καὶ γὰρ ἀληθῶς, ὁμβρίχειν δρόσον πιστοῖς·
ὅθεν δρόσισον ἡμῶν νῦν τὰς καρδίας,
δίψῃ στυγερᾷ, τηκομένας θλίψεων.

**Γ**έφυραν ἡμᾶς, πρὸς οὐρανὸν Παρθένε,
ἐκ γῆς τῷ ὄντι, φέρουσαν ἔγνωμέν σε,
Θεὸς γὰρ ἐκ σοῦ, προῆλθεν ἄνευ σπορᾶς,
γένους βροτείου περῶν πρὸς σωτηρίαν,
ῥύων τε φθορᾶς, τοῦ ἀρχαίου πόματος.

*Ὠδὴ γ' Ὁ Εἰρμὸς*

**Ἄ**ννῃ τῇ στείρᾳ, ἀντιζήλῳ Φαιννάνης,
Μητρί τε τῇ σῇ, ταῖς ἀτεκνούσαις τὸ πρίν,
ἔφησε Γαβριὴλ τῇ ἀπειρογάμῳ,
βλέψον καὶ πιστώθητι τοῖς ἐμοῖς λόγοις,
τέξῃ γὰρ Θεόν, ἀσπόρως σαρκούμενον.

**Π**λάκαν τοῦ νόμου, τὴν θεόγραφον Κόρη,
δακτύλῳ Θεοῦ, ἐγγεγραμμένην σαφῶς,
νέαν σε διαθήκης, ἔγνωμεν πάντες,
νόμον τὸν τοῦ Πνεύματος εἰσαγομένην,
πόθῳ οὖν τὴν σήν, γεραίρομεν σύλληψιν.

**Π**ύλην Θεοῦ σε, ἣν διώδευσε μόνος,
Θεὸς κεκλεισμένην τε, ὡς πρώην λιπών,
πύλας τὰς οὐρανίους ἀναπετᾶσαν,

ἃς Εὔας ἀπέκλεισεν ἡμῖν τὸ πάλαι,
μόνη γὰρ ὑπάρχεις, πιστῶν τὸ στήριγμα.

**Τ**ράπεζαν ἄρτου, μυστικὴν ὁ Δεσπότης,
σὲ μόνην ἁγνή, ὁ Ποιητῆς τοῦ παντός,
ἔδειξε τρέφουσαν, τοὺς πιστοὺς ἐνθέως,
τεῖχός τε καὶ στήριγμα καὶ σωτηρίαν·
ὅθεν ὡς ἡμῶν, προστάτην γεραίρομεν.

**Χ**ῶραν χωροῦσαν, τὸν ἀχώρητον Λόγον,
τροφόν τε ζωῆς, ἀνέδειξέ σε ἁγνή,
θρέψον τοὺς ὑμνούντας, τὴν σύλληψιν σου,
ἄρτῳ ζωτικῷ, καρποῦ τῆς σῆς κοιλίας,
ἄχραντε σεμνή, πιστῶν ἡ ἀντίληψις.

**Φ**ρίττουσιν ὄντως, οὐρανῶν αἱ δυνάμεις,
Συλλήψεως σῆς, τὸ ὑπὲρ νοῦν τελεσθέν,
Λόγον γὰρ προαιώνιον συλλαβοῦσα,
τέτοκας μητράναδρε ὡς Υἱόν σου,
πρέσβευε σεμνή, τοῦ σῶσαι τὴν ποίμνην σου.

*ᾨδὴ δ' Ὁ Εἱρμὸς.*

**Ὄ**ρος ὁ εἶδεν, ὁ προφήτης Παρθένε,
πάλαι ὁ θεῖος, Ἀββακοὺμ σὺ ὑπάρχεις,
ἐξ οὗ ἀφράστως, ἐπιφανεῖς ὁ Λόγος,
θείου Πνεύματος, ἐνέπνευσε τὴν χάριν,
τὴν σύλληψίν σου, οὖν τοὺς τιμῶντας σῶζε.

**Ἄ**νανδρε Μῆτερ, τὸν προάναρχον Λόγον,
ἔξης ἐν μήτρᾳ, ὁ Ἀρχάγγελος ἔφη,
Θεοῦ ὁ Λόγος, μὴ χωρισθεὶς τῶν ἄνω,
σὰρξ γίνεται, ἐκ σοῦ τῆς ἀνυμφεύτου,
θεῶσαι ποθῶν, τῶν βροτῶν τὴν ούσίαν.

**Κ**άθαρσιν ῥύπων, ψυχῆς σώματός τε,
δίδου τοῖς πόθῳ, σύλληψίν σου ὑμνοῦσι,
λουτὴρ καὶ γάρ συ, καὶ κολυμβήθρα πέλεις,
πάντα πλύνουσα, τῆς ἁμαρτίας ῥύπον,
γενοῦ βοηθός, άσφαλὴν σοῖς ἱκέτας.

**Π**ότισον Κόρη, ἐκτακέντας τῇ δίψῃ,
ἀμπλακημάτω, ὑμνωδοὺς σῆς λοχείας,
κρατὴρ ζωῆς γάρ, τῆς ἀθανάτου πέλεις,
νάμα ῥέον τε, ῥεῖθρον ἀειζωΐας,
ψυχὰς δροσισμοῦ, πρεσβειῶν σου ἐμψύχων.

**Θ**αῦμα θαυμάτων, τοκετοῦ σου τοῦ ξένου,
πάντως ὑπάρχεις, Μαριὰμ Θεομῆτορ,
ῥητόρων γλῶσσαι, ούκ ἐξίσχυσε ὅλως,
φρᾶσαι ἄφραστον σῆς συλλήψεως τρόπον,
Θεὸν γὰρ γεννᾶς, ὑπὲρ νοῦν θαῦμα ξένον!

**Π**ρόστηθι πάντων, τῶν τελούντων ἐν πόνοις,
σκέπουσα πάσης, προσβολῆς ἐναντίας,
ἰδοὺ γὰρ ὥσπερ, ἐν πολυκλύστῳ ζάλῃ,
πάντες ἤχθημεν ἐκ βρόχων ἁμαρτίας,

γενοῦ βοηθός, ἀσφαλὴς σοῖς ἱκέταις.

*Ὠδὴ ε' Ὁ Εἱρμὸς*

**Μ**υστικὴν ἔφησε, Ἡσαΐας Κόρη,
προσφυὼς ἁγνή, τοῦ ἄνθρακος λαβίδα,
φέρουσαν κόλποις, ἄνθρακα Θεὸν Λόγον,
φλέγοντα μὲν πήματα, γηγενῶν πάντων,
πιστῶν δὲ φωτίζοντα τὰς διανοίας.

**Π**αμφαῆς μόνη, σεμνὴ ὁλκὰς ἐφάνης,
μεταφέρουσα πιστοὺς πάντας πρὸς πόλον,
ὢ παραδόξου, ξένου τε μυστηρίου,
πῶς ἐσυλλήφθης, Ἀρχαγγέλου τῷ λόγῳ,
ἐκπλήττει καὶ νοῦν, καὶ διάνοιαν πᾶσαν.

**Κ**αθαρὸν βλέπων, καὶ φαεινὸν δοχεῖον,
ὁ κλεινὸς ἁγνή, διάκοσμος Ἀγγέλων,
χαῖρε σοῖ ἔφη, Κόρη δεδοξασμένη,
Θεὸς μετὰ σοῦ, μεγαλεῖα ποιῶν σοι.

**Τ**ὸν Θεὸν φέρεις, ὡς νεογνὸν ὠλέναις,
Μαριὰμ ταῖς φρικταῖς σου ὑπὲρ λόγον,
Ὃν συλλαβοῦσα, σήμερον ξενοτρόπως,
μόνῳ τῷ λόγῳ, Γαβριὴλ Ἀρχαγγέλου,
τῆς Εὔας ἀνάκλησιν, προαγορεύεις.

**Μ**υστικὴν πόλιν, ἐμψυχωμένην βλέπει,
καὶ Σιὼν Θεοῦ, ἁγνὴ ὁ Ζαχαρίας,

ἣν ὁ δεσπόζων, πάσης τῆς οἰκουμένης,
ἔπηξε μόνος, ἐν αὐτῇ δὲ οἰκήσας,
αὖθις ἀνῆλθεν, εἰς σελασφόρον θρόνον.

**Ἐ**ν παντὶ πάντες, κεκτήμεθα προστάτην,
κραταιὰν ἡμῶν ἀντίληψιν καὶ σκέπην,
σὲ Θεομῆτορ, ὑπέρμαχόν τε θείαν,
τρέποντες πάσας, δυσμενῶν παρατάξεις·
διὸ τοὺς τιμῶντάς σε, Δέσποινα σκέπε.

Ὠδὴ ς' Ὁ Εἱρμὸς

**Σ**άπφειρον λαμπρόν, τοῦ Ἰεζεκιὴλ σε,
εἰδότες ζόφον, λαμπρύνουσαν Παρθένε,
ψυχῆς ἐμῆς τε, καὶ εὐφροσύνης θείας,
πιστοὺς τηλαυγῶς, ἐμπιπλῶσαν τοὺς πίστει,
Σύλληψιν θείαν, σοῦ σεπτῶς εὐφημοῦντας.

**Π**έρας βουλῆς, τοῦ Ὑψίστου Παρθένε,
σὺ μόνη ὤφθης, τῆς πάλαι κεκρυμμένης,
πὸ τῶν αἰώνων, νῦν συλλαβοῦσα ξένως,
Πατρὸς τὸν Υἱόν, καὶ συνάναρχον Λόγον,
ξένην εἰς ἀνάπλασιν, βροτείου γένους.

**Τ**ρέφεις σοῖς μαζοῖς, τοῦ παντὸς τὸν τροφέα,
τροφὴν γλυκαίνεις, τὴν πάλαι βροτοκτόνον,
ἐμοῦ πικρίαν δέ, τῆς ἁμαρτίας γεῦσιν,
τῇ σῇ γλυκερᾷ, πρὸς βροτοὺς εὐσπλαγχνίᾳ,
πάναγνε δεῖξον, ἡδονὴν σωτηρίας.

**Λ**άμπουσα φωτί, ἀνεσπέρου ἡλίου,
λαμπραῖς ἀκτῖσι, Παρθένε παρθενίας,
λαμπραῖς αὐγαῖς τε, τῆς ταπεινοφροσύνης,
γαστρὶ τὸν Θεόν, συλλαμβάνεις ἀῤῥεύστως,
κόσμον εἰς λύτρον, καὶ ψυχῶν σωτηρίαν.

**Φ**ύσις γηγενῶν, ἐν Θεῷ εὐφραινέσθω,
στιλπνῶν χαρίτων, τυχοῦσα παραδόξως,
ἁγνῆς μητρὸς νῦν, τοῦ Θεανθρώπου Λόγου,
δι' ἧς οὐρανῶν εὐκλεῶς Βασιλείας,
τέτευχεν ὄντως, σὺν Ἀγγέλων χορείαις.

**Φ**όβῳ Γαβριήλ, καὶ χαρᾷ σοι ἐπέστη,
βουλὴν Ὑψίστου, τὴν πάλαι κεκρυμμένην,
πρὸ τῶν αἰώνων, ὑπερφυῶς Παρθένε,
βροτῶν εἰς καινήν, εἰς ἀνάπλασιν λέγων,
ἕξεις ἐν μήτρᾳ, τοῦ τεκεῖν Θεὸν Λόγον.

*ᾨδὴ ζ' Ὁ Εἱρμός.*

**Σ**ὺ τὸ ὄφλημα, τῆς προμήτορος Εὕας,
ἄχραντε ἀπέτισας τῇ σῇ λοχείᾳ,
νῦν δὲ τοῦ χρέους Δέσποινα ἐγκλημάτων,
σοὺς δούλους ἡμᾶς, λύτρωσαι τοὺς τιμῶντας,
σύλληψιν τὴν σεπτήν σου Θεοκυῆτορ.

**Ν**ύμφη πάναγνος, οὐ παρῆλθεν ἐκ τόκου,
ἄνευθεν γονῆς Πατρὸς οὐδαμῶς πᾶλαι,
βρέφος δὲ κλεῖθρα, λύσαν ὤφθη Παρθένου,

ὢ!, πῶς ἁγνὴ σύ, τῶν δὲ νῦν Θεοδόχε,
Δέσποινα πειραθεῖσα μένεις Παρθένος.

**Π**όλις ἄφθιτος, Ναζαρὲτ ἡ ἁγία,
σκίρτα τέρπου χόρευε, είσδεχομένη,
λόγον τῷ λόγῳ πάντα έκ τοῦ μὴ ὄντος,
τεκτήναντα νῦν, παρθενικῇ νυδύϊ,
εΐκοντα ένοικῆσαι κόσμου είς λύτρον.

**Ῥ**όδον εὔοσμον, Ὠσηὲ ὡς προέφη,
ἤνθησεν ίδού, ἡ Θεόπαις Μαρία,
πάντας όσφραίνον, μύρῳ τῷ πανευώδει,
ῷ νῦν έν γαστρὶ εΐληφεν ἀνεκφράστως,
λάμψασα τοῖς ποθοῦσι τὴν σωτηρίαν.

**Ν**ῦν δεδώρηται, πρὸς Θεοῦ ἡ Παρθένος,
νίκη κατ’ έχθρῶν, πιστοῖς καὶ σωτηρία,
νίκης βραβεῖα, κατὰ τῶν ἀκαθέκτων,
διδοῦσα παθῶν, ὄντως τῶν πολυστόνων,
οἷα μεσίτης, εύδιάλακτος μόνη.

**Ὡ**ς τὸν πλάσαντα, συλλαβοῦσα νηδύϊ,
ἔδειξας ὦ Δέσποινα τῆς πρὶν είκόνος,
ὄντως κάλλος, αὖθις ὡραϊσμένον,
ὡς φῶς προσηνές, λάμψασα τοῖς ποθοῦσι,
Δέσποινα καὶ τιμῶσι τὴν σύλληψίν σου.

### *Ὠδὴ η' Ὁ Εἱρμὸς*

**Μ**ήτραν σεπτήν σου, οἱ τρισάριθμοι παῖδες,
τὸ πρὶν προεικόνιζον μέσον καμίνου,
ξενοπρεπῶς ἄφλεκτοι διασωθέντες,
οὕτως ἐν μήτρᾳ, σὺ Θεὸν συλλαβοῦσα,
πυρὶ ἀΰλῳ, οὐδαμῶς κατεφλέχθης.

**Λ**όχου παστάδα, οὐρανίαν Παρθένε,
τοῦ πάντων Θεοῦ, ἐπιστάμεθα Κόρη,
καὶ Σολομῶντος ἐλεφαντίνην κλίνην,
Κτίστης ὁ πάντων, ἐν ᾗ ἐπανεπαύθη,
πιστοῖς παρέχων, τὴν καθάρσιον χάριν.

**Ἕ**κτῳ μηνί σοι, ὁ Ἀρχάγγελος Κόρη,
ἄφνω ἐπιστάς, τὴν χαρὰν προμηνύει,
Θεὸς θέλων γάρ, σῶσαι τοὺς πρὶν φθαρέντας,
μήτραν τὴν σὴν ᾤκησεν, ἀφράστῳ τρόπῳ,
τοῦ σῶσαι πάντας, τῇ φθορᾷ βεβυσμένους.

**Ὅ**λην πεσοῦσαν, τὴν βροτησίαν φύσιν,
ὅλος κενωθείς, ὁ προάναρχος Λόγος,
θεανδρικῶς λύτρωσιν, τοῖς πρὶν δεσμίοις,
νῦν ἐν σῇ μήτρᾶ, οὐσιωθεῖς ἀφράστως,
δωρεῖται πᾶσι, ἀπαλάττων καὶ σώζων.

**Ἄ**στρον ἐν κόσμῳ, ἀνεφάνης Παρθένε,
φαίνον τοῖς πιστοῖς, τὸ τρισήλιον σέλας,
φωταγωγοῦν ἅπαντας, τοὺς ἐν τῷ σκότει,

πρώην σκιᾷ τε, θανάτῳ καθημένους,
ὑμνοῦντας πόθῳ, σύλληψίν σου τὴν ξένην.

Φάνηθι φάος, οἷς ζοφώδης αἰτία,
ὤδινε ἡμῖν, ψυχικὴν ἀβλεψίαν,
παναληθὲς γάρ, σὺ φῶς ὡς τετοκυῖα,
φαίνεις Παρθένε, τοῖς ζόφῳ καθειργμένοις,
δι' ἧς περῶμεν, πρὸς ἀείφωτον τρίβον.

*Ὠδὴ θ'*

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Ὕ**μνον μὲν οὐδείς, σοὶ ἐπάξιον Κόρη,
σθένει ἐνεγκεῖν, ὡς θέμις Θεομῆτορ,
αἴνων γὰρ πάντων, συντόνων ὑπερέχεις,
σιγὴν οὖν ἡμῶν, ἀντὶ τῶν ὕμνων δέχου,
λόγων γὰρ ἐστίν, ἡ προαίρεσις πλέον.

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Γ**λῶσσαν ἣν οὐκ ἐγίνωσκες ἔγνως,
τὴν τοῦ Γαβριήλ, φωνοῦντός σοι τὸ χαῖρε,
ἕξεις ἐν μήτρᾳ, τὸν Λόγον ἀπορρήτως,
ἁγνὴ σὺ ἔφη, μένεις δὲ φθορᾶς δίχα,
ὡς εὐδόκησεν, εἰς βροτῶν σωτηρίαν.

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Δ**εῦρο προφητῶν, Ἡσαΐα καὶ φράσον,
τοῦ Ἐμμανουήλ, τὴν ἄσπορον λοχείαν,
πῶς ἡ Παρθένος, φωνῇ θείου Ἀγγέλου,
ἐν μήτρᾳ ἔσχε, Θεὸν ἀπειρογάμως,
ὢ ξένον τέρας, καὶ ἀνήκουστον πάνυ!

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Ν**ίκην κατ' ἐχθρῶν, δυσμενῶν καὶ βαρβάρων,
ἔχει σὲ λαός, Παντάνασσα καὶ κράτος,
ἅπας ὁ λάτρης, τοῦ τόκου σου Παρθένε,
καὶ νῦν βοηθός, ἀῤῥαγεστάτη μόνη,
τούτῳ γένοιο, δυσχερῶν ῥυομένη.

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Ξ**ένον καὶ φρικτόν! Πῶς ὁ εἷς τῆς Τριάδος,
νῦν ἐγκατοικεῖ, ἐν μήτρᾳ τῆς Παρθένου,
ἵνα ἀναπλάσῃ, τὴν βροτείαν οὐσίαν,
φθαρεῖσαν δεινῶς, κλοπῇ καρποῦ τοῦ ξύλου,
ὃν σὺν Πατρὶ καὶ Πνεύματι προσκυνοῦμεν.

*Μεγάλυνον ψυχή μου, τῆς ἁγνῆς Παρθένου, τὴν σύλληψιν τὴν θείαν.*

**Ὦ** Χριστιανῶν, ἀῤῥαγῆς προστασία,
μνη τῶν πιστῶν, βεβαία σωτηρία,
ὕμνον χειλέων, ἀνάγνων δεξαμένη,
παράσχου τὴν λύσιν, ἡμῶν πλημμελημάτων,

πόθῳ σύλληψιν, τῶν τὴν σὴν ἀνυμνούντων.